# ΑΝΤΕΡΑΣΤΑΙ

[ἢ περὶ φιλοσοφίας, ἠθικός.]

---

Εἰς Διονυσίου τοῦ γραμματιστοῦ εἰσῆλθον, καὶ εἶδον 132 a
αὐτόθι τῶν τε νέων τοὺς ἐπιεικεστάτους δοκοῦντας εἶναι
τὴν ἰδέαν καὶ πατέρων εὐδοκίμων, καὶ τούτων ἐραστάς.
Ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε, περὶ ὅτου
δέ, οὐ σφόδρα κατήκουον. Ἐφαινέσθην μέντοι ἢ περὶ
Ἀναξαγόρου ἢ περὶ Οἰνοπίδου ἐρίζειν· κύκλους γοῦν
γράφειν ἐφαινέσθην καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν b
χεροῖν ἐπικλίνοντε καὶ μάλ' ἐσπουδακότε. Κἀγώ — καθή-
μην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου αὐτοῖν — κινήσας
οὖν αὐτὸν τῷ ἀγκῶνι ἠρόμην ὅ τι ποτὲ οὕτως ἐσπουδακότε
τὼ μειρακίω εἴτην, καὶ εἶπον· Ἦ που μέγα τι καὶ καλόν
ἐστι περὶ ὃ τοσαύτην σπουδὴν πεποιημένω ἐστόν ;

Ὁ δ' εἶπε, Ποῖον, ἔφη, μέγα καὶ καλόν ; ἀδολεσχοῦσι
μὲν οὖν οὗτοί γε περὶ τῶν μετεώρων καὶ φλυαροῦσι φιλο-
σοφοῦντες.

Καὶ ἐγὼ θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν εἶπον· Ὦ c
νεανία, αἰσχρὸν δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν ; ἢ τί οὕτως
χαλεπῶς λέγεις ;

Καὶ ὁ ἕτερος — πλησίον γὰρ καθήμενος ἐτύγχανεν

Tit. ἀντερασταὶ in marg. B Diog. L. III, 59, IX, 37 : ἐρασταί BTW || **132 b** 1 γράφειν B : -φοντες TW || ἐφαινέσθην : ἐφαίνεσθον (ex ἐφαίνοντο) T || 5 εἴτην : ἤ την W || τι μέγα TW || 6 ὃ TW : ὅτου B || 7 post χαλόν add. ἐστιν W || 8 γε om. B.